books2ebooks.eu

Lagus, Gabriel Josephi

# Logidon peri thaumasiou tou anthropou kai ton kolon autou morphomatos, ... epephonesen ho Gabriel ho Lagos tou Ioseph hyios ... : (Greifswald 2 aug. 1605, eg: 1665.)

En te Gryphisbaldia
1665

e-böcker från ditt bibliotek av
eBooks on Demand
digitaliserad av
Kungliga Biblioteket
National Library of Sweden

# EOD – Miljoner böcker bara en knapptryckning bort. I mer än 10 europeiska länder!



**Tack för att du väljer EOD!**
Europeiska bibliotek har miljontals böcker från 1400- till 1900-talet i sina samlingar. Alla dessa böcker går nu att få som e-böcker – de är bara ett musklick bort. Sök i katalogen från något av biblioteken i eBooks on Demand- nätverket (EOD) och beställ boken som e-bok – tillgängligt från hela världen, 24 timmar per dag och 7 dagar i veckan. Boken digitaliseras och blir tillgänglig för dig som e-bok.

# EOD bokens fördelar!

- Få samma utseende och känsla som med originalet!
- Använd ditt standardprogram för att läsa boken på skärmen, zooma och navigera genom boken.
- Skriv ut enstaka sidor eller hela boken.
- *Sök*: Använd fulltextsökning för enskilda fraser.
- *Klipp & klistra*: Kopiera bilder och delar av texten till andra applikationer (t.ex. ordbehandlingsprogram).

# Villkor för användning

Genom att använda EOD-tjänsten accepterar du de villkor som ställs av biblioteket som äger den aktuella boken.

- Villkoren på svenska: http://books2ebooks.eu/odm/html/nls/sv/agb.html

# Fler e-böcker

Redan nu erbjuder 30 bibliotek från 12 europeiska länder denna service.
Mer information finns tillgängliga via http://books2ebooks.eulla boken.

- http://search.books2ebooks.eu/

GREIFSW.
F1700
773
38.

# ΛΟΓΙΔΙΟΝ

## Περὶ Θαυμασίου τοῦ Ἀνθρώπου καὶ τῶν κώλων αὐτοῦ Μορφώματος,

ὃ τοῦ Θεοῦ διδόντος, ἐν ἐνδοξοτάτῃ τῇ Ἀκαδημίᾳ Γρυφισβαλδένσῃ, παρούσης τῆς τῶν πλεῖστον αἰδεσίμων, τῶν γνωριμωτάτων, τῶν ἐμπειροτάτων, τῶν ἐξοχωτάτων, τῶν σιλβοτάτων, τῶν παιδευτάτων, καὶ τῶν κοσμιωτάτων πολυανθρωπίας, τῇ δευτέρᾳ τῇ ἡμέρᾳ τοῦ Μηνὸς τοῦ Αὐγούστου, καὶ μετὰ τῆς χριστογενίας ἔτει τῷ χιλιοστῷ, ἑξακοσιοστῷ τῷ πέμπτῳ ἑξηκοστῷ κοινῇ ἐκεφώνησεν

**Ὁ ΓΑΒΡΙῊΛ ὁ ΛΑΓΩ͂Σ τοῦ Ἰωσὴφ υἱὸς ὁ Νεαπολίτης καὶ ὁ Φίνλανδος.**

1665
Gabr: Joseph: Lagus

Ἐν τῇ Γρυφισβαλδίᾳ,
Ἐντετυπωμένον ἀπὸ τοῦ Ματθαίου τοῦ Δοϊσχήρου.

11

*Admodum Reverendo in Christo Patri ac Domino,*

# Dn. JOHANNI GEORGII GEZELIO,

## SS. Theol. Doctori Excellentissimo,

Dioeceseos Aboënsis EPISCOPO longè dignissimo, Consistorii Ecclesiastici Præsidi, Regiæq; ibidem Universitatis VICE-CANCELLARIO gravissimo, studiorum suorum patrono ut propensissimo; ita omni observantiæ ac honoris cultu perpetim prosequendo.

Ut Et

*Reverendis, Clarissimis, Humanissimis & Doctissimis Viris*

## Dn. CLAUDIO MARTINI BRENNERO,

Præposito & Pastori in Tössala gravissimo, Evergetæ summè honorando.

## Dn. M. JOHANNI HENRICI ALLENIO,

Pastori in Rousis meritissimo, Fautori apprimè colendo.

## Dn. Johanni Petri Ulmstadio Smol.

Rectori Scholæ in Nystad dignissimo, Parenti suo dilectissimo.

## Dn. ERICO ERICI SALONIO,

Sacellano in Lethala laudatissimo, Benefactori certissimo.

## Dn. DANIELI HENRICI JUSLENIO,

Sacellano in Wirmo vigilantissimo, Benefactori ibidem probatissimo.

## Dn. JOHANNI JOSEPHI, Sacellano

in Nystadh solertissimo, Fratri suo germano perdilecto.

*Oratiunculam hanc in humilimæ venerationis, debitæ observantiæ, gratiq; animi τεκμήριον humiliter & perofficiosè inscribit, offertq;*

G. J. L. N.

Quanto frequentioribus ...

sermonibus Lipporum etiam atq; Tonsorum, in biviis jactatur & triviis, tantò difficilius praxi exprimitur, aureis olim literis DELPHICI Templi foribus asscriptum Oraculum: γνῶθι σεαυτόν. Ut, SENECÆ judicio, non aliam ob causam rerum extra se, sed arduo loco positarũ accuratior contemplatio, tot Herculeorum laborum Labyrinthis animum nostrum involvat, quam quod nondum satis in seipsum descenderit. Itaq; non periturum operæ pretium, cum exercitationem aliquam publicam meditaretur, rectissimè judicavit Politissimus & Literatissimus juvenis GABRIEL JOSEPHI LAGUS FINLANDUS, quem augustiora ΤΗΣ ΨΥΧΗΣ ΙΑΤΡΕΙΑ, quibus Germania abundat, haut fugitivo lustrandi oculo laudatissimum desiderium in nostram quoq; Academiam allexit, si quam verè sciteq; ΘΑΥΜΑ ΘΑΥΜΑΤΩΝ, corpus humanum audiat, ORATIONE GRÆCA exponeret. Quæ cum per se audientiam mereatur, ne partibus meis desim, in Auditorium Academiæ maximum, ad diem 2. Augusti, hor. 9. Magnificum Dominum Rectorem, virosq; omnium ordinum literatos, Plurimum Reverendos, Amplissimos, Experientiss. Excellentiss. Clariss. nec non Cives Academicos Nobilissimos & Præstantissimos, officiosè ac peramanter advoco & invito

DANIEL LAGUS D.
Facult. Philos. nunc DECANUS.

Όταν ὁ Θεὸς ὁ παντοκράτωρ πάντα πομπῇ αὐτοῦ, τὰ ἐν τῷ οὐρανῷ, καὶ ἐν θαλάσσῃ, καὶ ἐπὶ τῆς γῆς ὄντα ἔκτισεν, ὕστερον τὸν τῶν πάντων κτισμάτων κύριον καὶ Ἄρχοντα τὸν Ἄνθρωπον κατὰ τὴν εἰκόνα αὐτοῦ ἔπλασεν, ἵνα ὡς ἐπὶ τὸ συμπόσιον καὶ εἰς τὴν τράπεζαν δαψιλέστατα παρεσκευασμένην ἄγηται. Ὢ ἀνεκδιήγητε ἡ τοῦ Θεοῦ ἀγαθωσύνη! Ὢ μακρὰν θαυμαστὴ ἡ σοφία! Θαυμάζομεν τὸ τοῦ ἡλίου δράμημα καὶ τὴν θέρμην αὐτοῦ. Θαυμάζομεν τὰ τῶν ἄστρων ὑψώματα. Θαυμάζομεν τὸ τῆς θαλάσσης βάθος. Ἐκπλέομεν τὰς θαλάσσας, ἵνα ὁρῶμεν καὶ ἀκούωμεν τῶν θαυμάτων. Ἀλλ᾽ ἀτενίσαντες εἰς τὸ σῶμα ἡμῶν εὑρήσομεν μακρὰν τοῦ θαυμασμοῦ ἄξια. τὸ γὰρ τοῦ σώματος ἡμετέρου δῶμα περὶ τῶν ἑτέρων ζώων ἔντεχνον· τὸ σῶμα ἡμῶν ἁπάντων ζώων σώματα νικᾷ τῇ ποικιλίᾳ, τῇ ἀπαρτίᾳ, τῇ φιλοκαλίᾳ, καὶ τῇ ἐπιτηδειότητι. τὸ σῶμα ἡμῶν πάντων σωμάτων τῶν φυσικῶν μετεωρότερον· τὸ σῶμα ἡμῶν τελευταῖον ἐστιν τὸ τῆς ψυχῆς λογικῆς οἴκημα, ἡ πασῶν μορφῶν τῶν φυσικῶν γνωριμωτάτη. Ὅθεν τις, ᾧ ὄνομα ὁ Ἄβδαλα, σεαυτὸν ἐρωτῶντι, τί ἐν ὅλῳ τούτῳ τῷ κόσμῳ μάλιστα θαυμάσιον νομίζῃ, ἀπεκρίθη. τὸ σῶμα τὸ ἀνθρώπινον. καὶ ὀρθῶς. τοσαῦτα γὰρ καὶ τηλικαῦτα ἐν ἐκείνῳ θαύματα, ὅσα τὰ κῶλα. Ἐπισκεπτώμεθα οὖν τὰ τοῦ σώματος ἡμετέρου ἕκαστα κῶλα, καὶ ὁράσομεν, ὅτι ὁ Θεὸς ἔνδοξος αὐτὰ θαυμασίως ἔπλασεν, ἵνα ὁ Σοφοκλῆς ἀληθῶς λέγῃ· Ἡ Φύσις θαυμασιώτερον τοῦ ἀνθρώπου οὐ μὴ παρέτεινε. Ἐγὼ τοιγαροῦν, καίπερ ἀδρανής, δύσκολον καὶ ὄρθιον ὕλην, ἡδεῖαν μέντοι καὶ πάνυ χρήσιμον, περὶ Θαυμασίου τούτου τοῦ ἀνθρώπου καὶ τῶν

κώλων

κώλων αὐτοῦ μορφώματος, εἰς τὴν τῶν θείων εὐεργετημάτων ἀνάμνησιν, νῦν, Θεοῦ διδόντος, ἐπ' ἀπαλοὺς τοὺς ὤμους μου ἐπέθηκα. Διὰ τοῦτο παρ' ὑμῶν, ὦ Ἀκροαταὶ ὦ ἐπιθυμητοί, ταπεινῶς αἰτέω φιληκοΐαν ἐμοὶ παρέχειν.

Μέγας τούτου κόσμου ὁ γονεὺς καὶ κατασκευαστὴς ὁ Θεὸς πανάγαθος ἐν τῷ σκηνοποιῆσαι τὸν ἄνθρωπον, ἅπαντα τῷ ἔργῳ τούτῳ ἀναγκαῖα, κατὰ τὴν ἀπέραντον δύναμιν αὐτοῦ ἥρμοσε. Καὶ ὥσπερ ὁ Ἀρχιτέκτων μεγίστην περὶ τοῦ θεμελίου ἐπιμέλειαν ἔχει, ἵνα μὴ ὁ οἶκος τῆς πλημμύρας γενομένης, ἢ τοῦ ἀνέμου πνέοντος, πίπτῃ. Οὕτω καὶ ὁ ἐπουράνιος ὁ Ἀρχιτέκτων Θεὸς ἄριστον ἔθηκε θεμέλιον ἐν ἀνθρώπῳ τὰ ὀστέα, ἃ τὸ μηχάνημα τοῦ σώματος τοῦ ἀνθρωπίνου κρατύνει. Ταῦτα γὰρ ὅλου σώματος θεμέλια καὶ ἐρείσματά εἰσι, ὡς οἱ στῦλοι τῆς οἰκοδομῆς. Τὰ ὀστέα δὲ μετὰ τῶν σπλάγχνων ἐκάλυψε, καὶ τὰς φλέβας τοῖς σπλάγχνοις παρέπλεξε, δι' ὧν ἡ ἰκμὰς καὶ τὸ αἷμα κατατρέχον πάντα τὰ κῶλα τοῖς βιωτικοῖς κυλοῖς βρέχουσι. Κομψοτέρᾳ παντελῶς τῇ τάξει καὶ πρεπούσῃ τῇ συμμετρίᾳ ἕκαστα κῶλα ἐπεκόσμησεν, ἵνα τὸ τοῦ σώματος κάλλος εἰκότως τοὺς ὀφθαλμοὺς κινῇ καὶ τέρπῃ.

Τῇ ΚΕΦΑΛΗ͂Ι εὐγενεστάτῳ τῷ τοῦ σώματος ἀνθρωπίνου κώλῳ ὑπέρτατον παρέσχε τόπον, ἣν τὸν τῶν ἑτέρων κατωτέρων ἀγωγὸν καὶ πασῶν αἰσθήσεων οἰκητήριον ἔταξε. Καὶ ὅτι ἡ γυμνότης αὐτῇ οὐ μὴ ἔπρεπε, ταῖς θριξὶν αὐτὴν ἔστεψε καὶ ἐκόσμησε. Τῷ Ἐγκεφάλῳ βαθύτατον ἔδωκε τόπον ἡ φύσις, ἵνα τῶν ἐξωτερικῶν ἀδικιῶν ἀτελὴς ᾖ, καὶ κατέκλεισεν αὐτὸν πρῶτον λεπτῇ, ἐντεῦθεν σκληρῇ τῇ μήνιγγι, ὕστερον σκληροτάτῳ τῷ κρανίῳ περιέβαλε, μάλιστα δ' ἐν βρέγματι καὶ τῷ ἰνίῳ, τελευταῖον περικρανίῳ τῷ πυκνοτέρῳ δέρματι καὶ παχείαις ταῖς θριξὶν ἠσφάλισε.

Τὴν καρδίαν, τὸ τῆς σοφίας οἴκημα, ταῖς πλευραῖς, καὶ τῷ κλονίῳ, καὶ λοιπαῖς μερίσιν, ὥσπερ τοῖς τείχεσιν αὐδροδεστάτοις περιέβαλεν, ἵνα αἱ πληγαὶ δυσκόλως ἐμβατεύωσι. Τῆς καρδίας γὰρ ἀκμαζούσης τὰ λοιπὰ κῶλα ἀκμάζει· τῆς δὲ καρδίας μαραινομένης τὰ ἕτερα μαραίνεται.

Τὰ

Τὰ ὦτα μόνος ἄνθρωπος ἔχει ἀκίνητα, καὶ εἰς τὸ πλευρὸν, ἀμφότερα ἐν ἐκείνῃ γραμμῇ, ἐν ᾗ οἱ ὀφθαλμοί. Ἐνώπιον ὤτων αἱ τρίχες, καὶ αὐτῶν ὑπέρτατα μέρη, ὡς οἱ στέφανοι περιβεβλημένα. Οὐχὶ ταῦτα τὴν τῆς θαυμαστῆς ἀξιοπρεπείας ἰδέαν προσαποδεικνύει; Ἀλλ᾽ ὑπὲρ πάντα θαύματα θαυμάσιον τὸ τῶν προσώπων ποίκιλμα, ἵνα μὴ δύο μὲν τοὺς ἀνθρώπους ἐν τῷ βλέμματι παντελῶς ὁμοίους εὑρεῖν ἐξέσται, ἐν τοσαύταις χιλιάσιν ἀνθρώπων, ἴσως μηδ᾽ ἐν ὅλῃ τῇ οἰκουμένῃ, ἀλλ᾽ ἀντιστρόφως ἐν ζώοις ἀλόγοις τοῦτο συμβαίνει, ἐκεῖ γὰρ εὑρίσκομεν πολλὰ μορφὴν ὁμοίαν ἔχοντα.

Λύχνοι δὲ τῶν κώλων οἱ ὀφθαλμοὶ εἰσιν, ὧν ἀποσβεσθέντων ἄχρηστοι αἱ χεῖρες καὶ οἱ πόδες, μενοῦνγε αὐτῶν ἀποβληθέντων ἀποπίπτει τὸ σῶμα. Ἔτι οἱ ὀφθαλμοὶ αἱ τοῦ νοὸς θυρίδες εἰσιν. Οἱ ὀφθαλμοὶ οἱ τῆς χάριτος καὶ τοῦ οἰκτιρμοῦ μηνυταί. Οἱ ὀφθαλμοὶ οἱ τῆς μανίας καὶ τῆς φιλότητος μηνυταί. Οἱ ὀφθαλμοὶ τελευταῖον οἱ τῆς χαρᾶς καὶ τῆς λύπης μηνυταί εἰσιν. Ἡμῶν γὰρ χαιρόντων γελῶσι· Ἡμῶν δὲ λυπουμένων μαραίνονται. Σφαίρας τῶν ὀφθαλμῶν ἱμάτισε καὶ ἔφραξε ἡ φύσις λεπτοτάτοις καὶ λαμπροτάτοις τοῖς δέρμασι, ἵνα αἱ τῶν πραγμάτων εἰκόνες εἰς τὴν ἐνδοτάτην τὴν αἴσθησιν ἐνδύνωσι, καὶ ἐκάλυψε τοὺς ὀφθαλμοὺς ταῖς ὀφρύσιν, ἵνα τῶν ἀδικιῶν ἀτελέες ἔσωνται. Τὰ βλέφαρα τοῖς νάγμασι τετειχισμένα παρέχει τοῖς ὀφθαλμοῖς τὸ πρέπον φράγμα. Τί ὀχυρώματα τῶν ἐπισκυνίων τοῖς νάγμασι κεκοσμημένα, οὐχὶ τοῖς ὀφθαλμοῖς ἐπιτείχισμα, ἵνα μή τι ἄνωθεν ἐμπίπτῃ; Ἐκ μεθορίου τῶν ἐπισκυνίων ἡ ῥὶς ἀνατέλλουσα πνεῖ, ὀσφραίνεται, καὶ τὸν μυελὸν καθαρίζει. Τὰ τῆς ῥινὸς ἄντρα ὁ Θεὸς ἔνδοξος πάνυ θαυμαστῷ τρόπῳ ἐποίησε, ἵνα μὴ τὰ χάσματα αὐτῶν τὸ στόμα οὐ δύνηται ῥυπαίνειν. Τῷ στόματι ἐσθίομεν· Τῷ στόματι τὸ πτύελον ἐκβάλλομεν· τῷ στόματι τὸν λόγον πλάττομεν· ἔνθεν κοῖλόν ἐστιν, ἵνα τὰς τροφὰς λαμβάνειν καὶ περιέχειν δύνηται, καὶ τὸν ἀέρα λαβεῖν καὶ προέσθαι.

Τὴν γλῶσσαν ὁ Θεὸς τῷ τοῦ οὐρανίσκου κοιλώματι, ὥσπερ τῇ

χελώνῃ

χελώνῃ ἐκάλυψε, καὶ αὐτὴν τοῖς ὀδοῦσι φράττων, ὡς τῷ τείχει ἔζωσε, καὶ μόνῳ τῷ ἀνθρώπῳ, ὡς τῆς διδαχῆς καὶ τοῦ λόγου χωρητικῷ ἔδωκε τὸ τοῦ λόγου καὶ τῆς λαλιᾶς δώρημα, ἵνα ἐν αὐτῇ τὸν Θεὸν εὐλογῇ καὶ τὰ μεγαλεῖα αὐτοῦ λαλῇ. Ἔστι καὶ ἡ γλῶσσα ὁ εἰς τὴν ἱλαρότητα καὶ τὴν λύπην αὐλὸς, τὰς φιλίας συνάπτει καὶ διαλύει, τοὺς λυπουμένους παρηγορεῖ.

Τοὺς ὀδόντας ἔχει ὁ ἄνθρωπος κατὰ τὴν κομψοτάτην τάξιν ἀφ' ἑαυτῶν ἀλλήλων ἀφωρισμένους, καὶ ἐν τῇ ἀμφοτέρᾳ γνάθῳ ἴσους.

Ἡ δὲ χεὶρ ἐκεῖνο τὸ ὄργανον, ᾧ μόνον ἄνθρωπον ἐκόσμησε ἡ φύσις. Σοφωτάτην γὰρ ἀνθρώπου ψυχὴν διὰ χειρῶν δηλοποιεῖν ἔδει τὴν σοφίαν. Ἐπεὶ ταῖς χερσὶ τοὺς λογισμοὺς διασαφίζομεν: Ταῖς χερσὶ τὰς εὐχὰς ἐμφανίζομεν. Εἶτα ταῖς χερσὶ πονοῦμεν, ταῖς χερσὶν ἐπιλαμβανόμεθα τῶν χρησίμων, τὰ δὲ βλαβερὰ ἀνακόπτομεν καὶ ἀπελαύνομεν. Ἔτι μὴ μόνον ταῖς γραμμαῖς διεσκεύασεν ἡ φύσις τὰς χεῖρας, ὅθεν πολλοὶ πολλαπλασίους τοὺς στοχασμοὺς περὶ τῶν ἐθέων καὶ τῶν νόσων καὶ τῶν θανάτων τῶν ἀνθρώπων ποιοῦσιν, ἀλλὰ καὶ τοῖς ὄνυξι τῇ ἀντιλαβῇ ἐπιτηδείοις.

Σιωπάω σοῦ ὤμους, σιωπάω καὶ τὴν ῥαχίαν, ἠνεγμένοις τοῖς φορτίοις ἱκανήν. Παραλείπω τὸ κλόνιον, ὅλης τῆς οἰκοδομῆς στήριγμα. Σιγῶ τὰς πλευρὰς, ἃς ἅπαντα ἔντερα ὡς τῷ τείχῳ λυσιτελούντως περιασφαλίζεται, ἐκείνων γὰρ ἀπολελειμμένων ἔνδον διαλανθάνοντα ῥᾷστα βλάπτεται. Ἀφιέω χρήσιμον τῆς κυβίτων καμπήν. Οὐδὲν μνείαν ποιήσω τῆς γνάθου, ὅσον κομψῶς ἐκείνη ἀπὸ τῶν παρειῶν κατήχθη. Παρίημι ὅσον ῥίγιος καὶ τροχαλὸς ὁ τράχηλος. Οὐδὲν λαλήσω περὶ τῆς ὠμοπλάτων ἀπὸ τοῦ αὐχένος καθειμένων. Οὐδὲν περὶ τῶν πνευμόνων, οὐδὲν περὶ τοῦ ἥπατος, ὅσον σοφῶς καὶ θαυμαστῶς ταῦτα κῶλα ἀπὸ τῆς φύσεως ἐκτίσθη. Οὐδὲν λέξω περὶ τοῦ στομάχου, ὃς τὴν τροφὴν ἀναλαμβάνει καὶ καταπέπτει, καὶ ἑτέροις κώλοις τὴν ἀνοχὴν κοινωνεῖ. Οὐδὲν περὶ τῆς τῶν ἐντέρων πολλαπλασίου σπείρας,

πείρας, καὶ τῆς μακρότητος ἐν ἑαυτῇ συμπεπλεγμένης. Τί λέξω περὶ τῶν μηρῶν, ταῖς ψόαις καὶ τοῖς ἰσχίοις προσκολλωμένων, οὐχ' ἔσον τε οἱ στύλοι τοῦτοι ὅλην τὴν οἰκοδομὴν στηρίζουσι; τί περὶ θαυμασίου τοῦ τῶν γονάτων συνοχμοῦ, ἰγνύων καὶ νεύρων; ὕστερον ὀλίγον περὶ τῆς λαμπροτάτης κατασκευῆς τῶν ποδῶν λαλήσω, τὰ νεῦρα καὶ τὰ ἄρθρα, καὶ τοὺς δακτύλους ἐχόντων, ἕκαστος γὰρ ὁ δάκτυλος ἐκοσμήθη τοῖς ὄνυξιν αὐτοῦ, ἵνα οἱ πόδες ἀσφαλέστερα κινῶνται, καὶ τῇ γῇ ἐπιμένωσι. Ἔτι τοῖς ποσὶ μόνος ὁ ἄνθρωπος ἵσταται· ποσὶ μόνος πρεπόντως περιπατεῖ· ποσὶ ἀναβαίνει εἰς τοὺς πύργους· ποσὶ μόνος ὁ Ἄνθρωπος ἐγείρεται πρὸς τὴν διάσκεψιν τῶν ἐπουρανίων. Ὅθεν οὐκ ἔξω λόγου καλεῖται ὁ Ἄνθρωπος, ὡς ἄνω τρέπων ὦπα, ἵνα τὸν Θεὸν, οὗ ἐκεῖ ἡ ἕδρα, ὃν τοῖς ὀφθαλμοῖς οὐ δύναται θεωρεῖν, τῷ νοῒ θεωρῇ, καὶ ἀνορθωθέντι εἰς τὸν οὐρανὸν σώματι ἀπὸ τῆς τῶν ἐπιγείων πραγμάτων μερίμνης ἐπιστρέφῃ σεαυτὸν πρὸς τὴν τῶν οὐρανίων θεώρησιν καὶ ἀγάπησιν.

Διὰ τοῦτο, ὦ ἄνθρωπε, πάντων τῶν κτισμάτων εὐγενέστατε, ὀλιγώρησον πλωσίμων τῶν πραγμάτων, καὶ τὰ ὑψηλὰ ἐξέτασον, καὶ ἀμετάβλητα εἰς ἀκριβῆ μνήμην τίθει. Ὦ Ἄνθρωπε, πάντων τῶν κτισμάτων κύριε, τί προσέτι περὶ σοῦ λαλήσω; Σὺ μόνος εἶ ἐξ ἁπάντων ζώων ὁ τῶν πραγμάτων θείων καὶ τῶν ἐπουρανίων θεωρός. Σὺ μόνος τοὺς ὀφθαλμοὺς καὶ τὸν νοῦν πρὸς Θεὸν τὸν κτίστην σου ἀνατείνεις· Σὺ μόνος λαλεῖς, καὶ τοῖς ἑτέροις τὰ νοούμενα κοινωνεῖς· Σὺ μόνος ἔχεις ἀνυψωθὲν τὸ σχῆμα, τὰ δὲ τῶν ἑτέρων ζώων σώματα εἰς τὴν γῆν τεταπεινωμένα· Σὺ μόνος χερσὶ πονεῖς· καὶ ποικίλα ἔργα, καὶ φυσικὰ, καὶ ἠθικὰ, καὶ τεχνικὰ ἀποτελεῖς. Ὦ πανάγαθε ὁ Θεὸς, μάλιστα τοῦτο σχῆμα τῷ ἀνθρώπῳ εὐάρμοστον εἰς τὸ καθῆκον πράττει. Τοῦ γὰρ σώματος αὐτοῦ εἰς τὴν γῆν κατατεθέντος οὐ μὴ δύναιτο τὸ προσῆκον εὖ ἐπιτελεῖν, μηδὲ τὰ πράγματα τὰ οὐράνια ὀρθῶς βλέπειν, μηδὲ τῷ βρόγχῳ χρῆσθαι εἰς τὸ τὸν λόγον ποιεῖν, μηδὲ ταῖς χερσὶν εἰς τὰς ἐργασίας ἐξωτικὰς ἑαυτὸν ἀσκεῖν. Περὶ οὗ καὶ ὁ Ἀριστοτέλης ὁμοδοξεῖ,

δοξεῖ, ὅταν λέγῃ· Ἄνθρωπος ὀρθὸν ἐστι μόνον τῶν ζώων, διὰ τὸ τὴν φύσιν αὐτοῦ καὶ τὴν οὐσίαν εἶναι θείαν. Ἔργον δὲ τοῦ θειοτάτου τὸ νοεῖν καὶ φρονεῖν. Ὦ ἔνδοξε ὁ Θεὸς, ὅσον πολλὰ ἀγαθὰ ἡμῖν παρέσχες. Οὐδεὶς ἀνθρώπων δύναται τὰ εὐεργετήματά σου ἀπομνημονεύειν. Τίς τοιγαροῦν ὅσον ἄπορος τοῦ νοὸς, ὃς τὸ σῶμα ὑπερκαλῶς τεκταινομένον θεᾶται, οὐδὲ μέντοι τὴν τοῦ Ἀρχιτέκτονος εὐφυΐαν καὶ πολυμηχανίαν ἐπιγινώσκων οὐ θαυμάζει καὶ ἐπαινεῖ; Τίς τόσον ἀφιλάνθρωπος, ὥστε τὴν τοῦ ἀνθρωπίνου τοῦ σώματος κατασκευὴν ὁρῶν οὐκ αὐτίκα τοῦ σοφοῦ τοῦ δημιουργοῦ εἰδῇ; Τίς τόσον ἀχάριστος καὶ ἀσεβὴς, ὥστε ὑπὲρ τοσαύτης ἐξοχῆς τῷ Θεῷ τὴν χάριν οὐκ ἔχειν.

Ἀλλ᾽ ἵνα μὴ καταχρῶμαι τῇ εὐνοϊκῇ τῇ ὑπομονῇ ὑμῶν, ὦ Ἀκροαταὶ βέλτιστοι, τελευτῶ τὸν λόγον. Ἠκούσατε βραχέως περὶ τῆς τοῦ ἀνθρωπίνου σώματος θαυμαστῆς τῆς κατασκευῆς, ἧς οὐδὲν ἡδύτερον, εἴτε τὸ σχῆμα αὐτοῦ ὁρῶμεν, ὅ τι εἰς οὐρανὸν στραφὲν, εἴτε ποικιλίαν τὴν τῶν ὀργάνων τελείωσιν καὶ χρῆσιν, εἴτε τὴν τῶν κώλων ἑκάστων μεγίστην ἐν ἀλλήλοις συμμέλειαν καὶ τὴν ἁρμονίαν.

Ὑμῖν δὲ ὦ Ἀκροαταὶ τιμιώτατοι μεγίστην χάριν ἔχω, ὅτι τὴν εὐθυμίαν ὑμῶν ἐν τούτῳ τῷ τόπῳ εἰς ἐμὲ νῦν ἐμφανίζειν ἠξιώσατε, ἐγὼ ἐναλλάγδην ὑπὲρ ταύτης τῆς εὐεργεσίας τὴν θεραπείαν καὶ τὴν εὐχαριστίαν πάντα τὸν χρόνον καὶ πανταχῆ ἄσμενος ὑμῖν διεγγυῶμαι.

Σοὶ νῦν τῷ τοῦ ἀνθρώπου καὶ πάντων κτισμάτων Κτιστῇ τῷ Θεῷ ἡμῶν ὁ ὕμνος, σοὶ φημὶ μόνῳ ἡ εὐλογία, καὶ ἡ δόξα, καὶ ἡ σοφία, καὶ ἡ εὐχαριστία, καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις, καὶ ἡ ἰσχὺς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΛΕΓΟΝ.

*ARduus in cathedrâ dum Tu, mi*
*Lage, peroras,*
*Ingenii prodis non sine laude decus.*
*Perge velut pergis. Montes superamus eundo:*
*Præmia sunt præsto, fortiter insequere.*

Cum sanctissimo
magnorum in literis incrementorum
&
omnigenæ aliàs faustitatis
VOTO,
festino calamo scripsit

**Conrad Friedelieb U. J. D.**
**& Professor Publicus.**

---

Σώματος ἀνθρώπου θαυμάστικα κῶλα θεωρεῖς,
ὡς δεῖ σπουδαῖον τοῦτο δὲ πλάσμα ὁρᾶν.
Τάξιος ἐκ ταύτης τὸν παντοκράτορα πλάστην
ὀρθῶς τόνγ' ἄγιον φίλτατε γνῶθι Λάγε.

αὐτοσχεδ.

**M. Joachimus Rosenow/**
**Math. Prof. Ord.**

---

TE tua, Vir clare, exornat benè Graja loquela,
Quâ polles multùm, quâq; Magister eris.

Insuper

Insuper ac hominum varios addiscere mores
Discupis, ut rectè possis adesse Tuis.
Perge bonis avibus, reditu exhilarato Parentes,
Te summâ Numen prosperitate beet!

*Hisce paucis pereximium ac præstantissimum Dominum Lagum, amicum suum dilectum honestare voluit*

M. Otto Ursinus C.N.M.
S. S. Theolog. Candid.

*Viro juveni pereximio ac præstantissimo,*

DN. GABRIELI JOSEPHI LAGO,

amico & Sympatriotæ suo perdilecto de admirabili corporis humani structurâ oratione Græcâ doctissimè peroranti, atq; ad regiones exteras jam jam proficiscenti.

*Pieridum proles, GABRIEL Patriota colende,*
*Quas tibi nunc laudes, & quæ tibi carmina condam?*
*Non tantùm ingenuas didicisti sedulus artes,*
*Quod monstrant certò genii nunc munera grata;*
*Sed quoq; longinquas, Patriis submotus ab oris,*
*Dum sequeris terras, varios moresq;, hominesq;*
*Perspicis, ut possis magnos acquirere fructus.*
*O benè! Succedant feliciter! atq; ego toto*
*Pectore nunc voveo. Vivas! Vivaxq; vigeto!*

L Mq;
ex animo gratulatur
Nicolaus Bringius Smol. Svecus,
S. S. Theol. & Phil. Stud.

Non secus ac lucri cupidus mercator ad Indos
Extremos currens, hoc pacto commoda quærit:
Sic quoq; tu Phœbi Clari præclare satelles,
Nunc monstras nostrũ qvàm sit mirabile corpus,
Egregiè. Et merito peregrinas tendis in oras,
Ut varios mores, nec non idiomata discas.
Certus eris, labor hic quem Palladis artibus æquus
Impendis, digni cumulum tibi tradet honoris.
I felix igitur! Redeas & sidere fausto!.

*Viro juveni pereximio,*
*DN. GABRIELI LAGO Sympatriotæ*
*& amico perdilecto pauca hæcce*
*honoris ergo reliqvit*
Jsaacus Dieterici Mollerus,
Smol. Svecus, S.S. Th. & Phil. Stud.

books2ebooks.eu

www.books2ebooks.eu

e-böcker från ditt bibliotek av
eBooks on Demand

digitaliserad av
Kungliga Biblioteket

National Library of Sweden